πρῶτον ἐρημωθήσονται· ἀνθ' ὧν παρέλαβον καὶ μετὰ τῶν κατὰ [...] τοῦ Ἡρακλείου
ἐπηγγείλατο δὲ τῶν γυναικῶν Ἰσραὴλ οἰκοῦσαν [...], τοῖς ἰδίοις ἐλάτρευον θεοῖς· ὀργισθεὶς δὲ ὁ θεὸς
λέοντας ἐπέπεμψεν κατεσθίειν αὐτούς· τοῦτο δὲ μαθὼν ὁ μετοικήσας αὐτοὺς βα-
σιλεύς, ἀπέστειλεν αὐτοῖς ἕνα τῶν παρ' αὐτοῖς αἰχμαλώτων ἱερέων τοῦ Ἰσραήλ· τὸν λατρεύ-
τοντα τῷ θεῷ Ἰσραὴλ κατὰ τὸν νόμον, ἐκδιδάσκοντα τὰ παρὰ τοῦ Μωϋσέως· οἳ μόνα παραλαβόντες
τὰ ἐλάτρευον τῷ θεῷ, καὶ τῶν εἰδώλων οὐκ ἀπέστησαν· ἀπὸ τούτων εἰσίν, οἱ νῦν Σα-
μαρεῖται· τὴν πεντάτευχον μόνην τοῦ Μωϋσέως δεχόμενοι, καὶ μὴ συγχρώμενοι τοῖς Ἰουδαίοις

Καὶ ὅσοι ἀρχιερεῖς ἐγένοντο ἐν τῷ Ἰσραήλ· Ἀαρὼν ἕβδομος ὢν ἀπὸ Ἀβραάμ, διὸ οἱ υἱοὶ κα-
τέλιπε(?) Ἐλεάζαρον καὶ Ἰθάμαρ· Ἐλεάζαρ, ἐφ' οὗ ἀπέθανε Μωϋσῆς· καὶ ἡ κατὰ προδοσίαν(?)
τῆς γῆς [...] καὶ ἡ σκηνὴ τοῦ μαρτυρίου ἐπάγη ἐν τῇ ἐρήμῳ· Φινεὲς υἱὸς Ἐλεάζαρ
μεθ' ὃν ἀντὶ τῶν πρεσβυτέρων τὸν λαὸν κρίνας· Ἀβιούδ· Βοκχί(?)· Ὀζά· Ἠλεὶ ἐκ τοῦ Ἰθάμαρ· Ἀχι-
τώβ· ἐφ' οὗ Σαμουήλ· Ἀβιάθαρ μετὰ τοῦ Δαυΐδ· Σαδὼκ ἐκ τοῦ οἴκου Ἐλεάζαρ· Ἀχι-
μάας· Ἀζαρίας· Σαμβρί(?)· Ζαχαρίας ὁ διὰ ζῆλον θεοῦ ἀναιρεθείς· Ἀζαρίας, ὁ τὸν Ὀζίαν τῆς θυ-
σίας(?) [...] κωλύσας· Οὐρίας ὁ ἐπὶ Ἄχαζ τοῦ ἀσεβοῦς· Σομίας(?) ὁ πονηρὸς καὶ ἄσωτος,
ἐπὶ Ἐζεκίου βασιλέως· Ἐλιακείμ· Σελλούμ· Χελκίας ὁ ἐπὶ Ἰωσίου βασιλέως· Σαραίας
ὁ ἐπὶ τῆς αἰχμαλωσίας Βαβυλῶνος, ὃν ἀνεῖλε Ναβουχοδονόσωρ· Ἰωσεδέκ, ὁ υἱὸς Σε-
ραίου(?) [...] οὗτος ἦν ἐν Βαβυλῶνι ἐν τῇ αἰχμαλωσίᾳ· Ἰησοῦς ὁ υἱὸς αὐτοῦ
ὁ ἐπανελθὼν καὶ τὸν ναὸν οἰκοδομήσας μετὰ Ζοροβάβελ· Ἰωακείμ· Ἐλιάσιβ· Ἰω-
δαέ, ἐφ' οὗ Νεεμίας ᾠκοδόμησε τὴν Ἱερουσαλὴμ καὶ τὰ τείχη περιεποιήσατο(?)· Ἰωνάθαν· Ἰαδ-
δοὺ ὁ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος βασιλέως· Ὀνίας· Σίμων ὁ θεοφιλής· Ἐλεάζαρ
ἐφ' οὗ ἑρμηνεύθησαν αἱ θεῖαι γραφαὶ ἐπὶ Πτολεμαίου· Μανασσῆς· Ὀνίας· Σίμων
υἱὸς αὐτοῦ, οὗ μνημονεύει Ἰησοῦς υἱὸς Σιρὰχ ἐν τῇ σοφίᾳ αὐτοῦ· Ὀνίας υἱὸς Σίμωνος· οἱ τρεῖς
Ὀνίας· Ἰάσων· καὶ Μενέλαος· οὗτοι δὲ ἀλλήλοις ἀντιστασιάζοντες, ὑπ' ἀλλήλων διωκό-
μενοι(?) [...] ἐφ' ὧν Ἀντίοχος τὰ κατὰ [...] ἔπραξεν [...] τὸν Μενέλαον· Ἄλκιμος ἀλ-
λογενὴς κατεστάθη ὑπὸ Ἀντιόχου μετὰ Μενέλαον· Ἰούδας ὁ Μακκαβαῖος· καὶ Ἰωνάθαν
καὶ Σίμων οἱ ἀδελφοὶ αὐτοῦ· Ἰωάννης υἱὸς Σίμωνος τοῦ Μακκαβαίου· Ἰωάννης ὁ καὶ
Ἰανναῖος· Ὑρκανός· τούτου ἀδελφὸς αὐτοῦ [...]· Πομπήιος δὲ ὁ Ῥωμαίων στρα-
τηγός, προσφυγόντα αὐτῷ τὸν Ὑρκανὸν ἀποκατέστησεν· ἐφ' οὗ οἱ Ἰουδαῖοι γεγόνασιν
ὑποτελεῖς Ῥωμαίων· Ἀριστόβουλος [...], δέσμιος ἀπήχθη εἰς Ῥώμην ὑπὸ Πο-
μπηίου· Ὑρκανὸς δὲ ᾐχμαλωτίσθη ὑπὸ Πάρθων· Ἀντίγονος τε ὁ Ἀριστοβούλου υἱὸς καὶ
αὐτὸς ἀνῃρέθη· Ἀνάνηλος ἀλλογενὴς ὁ κατασταθεὶς ὑπὸ Ἡρώδου· Ἀριστόβουλος
υἱὸς Ὑρκανοῦ, ὃν ἀνεῖλεν Ἡρώδης [...] ἐν Ἱεριχοῦ· Ἀνάνηλος πάλιν ὁ αὐτός· καὶ Ἰω[...]
σταθεὶς ὑπὸ Ἡρώδου· Σίμων Βοηθοῦ, πενθερὸς Ἡρώδου· Ματθίας Θεοφίλου· Ἰωά-
ζαρ πενθερίδης Ἡρώδου, ἐφ' οὗ Χριστὸς ἐγεννήθη· Ἐλεάζαρ· Ἰησοῦς· [...]· Ἰωάζαρ(?)·
[...] ἐφ' οὗ ὁ Χριστὸς [...] ἤρξατο τοῦ κηρύγματος καὶ τῶν σημείων· [...]
[...] ὁ Ῥωμαίων [...], καὶ [...] ἄλλον [...]· Ἐλεάζαρ υἱὸς Ἀνάνου· Σίμ-